## ΒΙΒΛΟΣ ΚΡΙΤΩΝ ΕΤΩΝ ΥΣΤ΄

Οἱ μετὰ τὸν Ἰησοῦν πρεσβύτεροι κατὰ τὸν ἀρχαιότατον Ἀφρικανὸν ἔτη λ΄.

Χουσαρσαθὲμ βασιλεὺς Συρίας ἔτη η΄.

Γοθονιὴλ κριτὴς ἐκ φυλῆς Ἰούδα ἔτη μ΄.

Αἰγλὼμ βασιλεὺς Μωαβιτῶν ἔτη ιη΄.

Ἀὼθ ἐκ φυλῆς Ἐφραὶμ καὶ Σεμέγερ κριταὶ ἔτη ἕτερα ξβ΄, ᾧ γίνεται ἔτη π΄.

Ἰαβὶς βασιλεὺς Χαναὰν ἔτη κ΄.

Δεβόρρα ἐκ φυλῆς Ἐφραὶμ καὶ Βαραὰκ ἐκ φυλῆς Νεφθαλεὶμ ἕτερα ἔτη κ΄.

Μαδιηνῶν ἔθνος ἔτη ζ΄.

Γεδεὼν κριτὴς ἐκ φυλῆς Μανασσῆ, ὃς ἔσχεν υἱοὺς οα΄, ἔτη ἕτερα λγ΄.

Ἀβιμέλεχ υἱὸς Γεδεὼν ἐκ παλλακίδος, ὁ ἀνελὼν τοὺς ο΄ γνησίους τοῦ πατρὸς αὐτοῦ υἱούς, καὶ τυραννίδι ἑαυτὸν βασιλέα καταστήσας, καὶ τὸν λαὸν εἰς τὸν καταλλήλων πόλεμον διεγείρας, ἔτη γ΄.

Θωλὰ κριτὴς ἔτη κβ΄.

Ἰαεὶρ κριτὴς ἐκ φυλῆς Μανασσῆ ἔτη κβ΄.

Ἀμανιτῶν ἔθνος ἔτη ιη΄.

Ἰεφθάε κριτὴς ἐκ φυλῆς Μανασσῆ ἔτη μβ΄.

Ἀβισὰν κριτὴς ὁ καὶ Ἐσεβὼν ἐκ φυλῆς Ἰούδα ἔτη ζ΄.

Ἐλὼμ κριτὴς ἔτη στ΄.

Ἀβδὼν κριτὴς ἐκ φυλῆς Ζαβουλῶν ἔτη η΄.

Ἀλλόφυλοι ἔτη μ΄

Οἷς συνάπτονται τὰ τοῦ Σαμψὼν ἔτη κ΄ τοῦ ἐκ φυλῆς Δάν.

f. 198 Καὶ τὰ ἄλλα κ΄ ἔτη ἐκ τῆς ἀναρχίας κατὰ τὸν Ἀφρικανὸν καὶ ἑτέρους | χρονογράφους.

## ΒΙΒΛΟΣ ΡΟΥΘ ΕΤΩΝ Ν΄

Ἀναρχίας τῆς προγεγραμμένης, καθ᾿ ἣν καὶ ἡ Ῥοὺθ ἐγνωρίζετο, ἕτερα ἔτη κ΄. Εἰρήνης τῆς πρὸς τοὺς ἀλλοφύλους τῶν υἱῶν Ἰσρα κατὰ Ἀφρικανὸν καὶ ἄλλους χρονογράφους ἔτη λ΄.

Περιέχει ἡ Ὀκτάτευχος τὰ πάντα ἔτη ͵δτμθ΄.

## ΒΙΒΛΟΣ ΒΑΣΙΛΕΙΩΝ ΠΡΩΤΟΝ ΕΤΩΝ Π΄ ΜΗΝΩΝ Ζ΄

Ἠλεὶ ὁ ἱερεὺς ἔτη κ΄.

Ἡ κιβωτὸς ἐν γῇ τῶν ἀλλοφύλων μῆνας ζ΄. Ἡ κιβωτὸς ἐν οἴκῳ Ἀμιναδὰβ καὶ Σαμουὴλ δικάζων ἐν νεότητι τὸν λαὸν ἐν εἰρήνῃ διάγοντα ἔτη κ΄. Καὶ μετὰ ταῦτα τῶν ἀλλοφύλων ἐπαναστάντων τῷ λαῷ Σαμουὴλ ἐκπολεμήσας αὐτούς, ὡς ἔστι γνῶναι ἔκ τε τῶν γεγραμμένων Ἀφρικανῷ ἐν τῷ Χρονικῷ συγγράμματι καὶ ἑτέροις χρονογράφοις καὶ ἐκ τῶν εἰρημένων τῷ θεσπεσίῳ Παύλῳ ἐν τῇ πρὸς Ἑβραίους διδασκαλίᾳ καὶ ἀναγεγραμμένων ἐν τῇ ἱερᾷ βίβλῳ τῶν πράξεων.

Γηράσαντος δὲ τοῦ Σαμουὴλ καὶ τοῦ λαοῦ αἰτήσαντος βασιλέα, χρίεται κατὰ θεῖον πρόσταγμα ἐπὶ τὸν Ἰσραὴλ καὶ Ἰούδαν Σαοὺλ υἱὸς Κεῖς ἐκ φυλῆς Βενιαμεὶν καὶ ἐβασίλευσεν ἔτη μ΄ κατὰ τὴν πράξεων βίβλον, ἐξ ὧν θεαρέστως ἐβασίλευσεν ἔτη β΄ κατὰ τὴν πρώτην τῶν Βασιλειῶν.

---

17 in cod. Θαλά.
36 in cod. διάγοντος.
42 in cod. ἐτήσαντος.